TEZAUR LITURGIC

**18 OCTOMBRIE**

**GHERASIM MIKRAGHIANANITUL**

# PARACLISUL SF.APOSTOL ŞI EVANGHELIST LUCA

# I

**ATENA,2020**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 18 Ὀκτωβρίου

# ΠΑΡΑΚΛΗΣΙΣ

# Ἀποστόλου καὶ Εὐαγγελιστοῦ ΛΟΥΚΑ

## Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

*Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ᾽ ὅ τὸ Θεὸς Κύριος ὡς συνήθως καὶ τὰ ἑξῆς: Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὡς τοῦ Σωτῆρος Μαθητὴς θεηγόρος, καὶ ἀντιλήπτωρ τῶν πιστῶς σε καλούντων, καὶ πρεσβευτὴς ἡμῶν θερμὸς πρὸς Κύριον, Λουκᾶ παμμακάριστε, πάσης λύτρωσαι βλάβης, καὶ πάσης στενώσεως, τοὺς τιμῶντάς σε πόθῳ, καὶ τοῖς ζωγράφοις δίδου φωτισμόν, ἐξαιτουμένοις, τὴν θείαν πρεσβείαν σου.

*Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι. Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄. καὶ ὁ Κανών, οὗ ἡ ἀκροστιχίς· *Λουκᾶ βοήθει τοῖς σὲ τιμῶσι. Γερασίμου.*

*ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Λαμπόμενος φέγγει Τριαδικῷ, Λουκᾶ θεηγόρε, ὡς Ἀπόστολος τοῦ Χριστοῦ, δίωξον ψυχῆς μου τὴν ὁμίχλην, φωτιστικαῖς σου πρεσβείαις πανεύφημε.

Ὁ μέγας Ἀπόστολος τοῦ Χριστοῦ, Λουκᾶ θεοῤῥῆμον, τῇ μεγίστῃ σου ἀρωγῇ, παντοίων ἡμᾶς ῥύου κινδύνων, καὶ πολλαπλῶν συμφορῶν τε καὶ θλίψεων.

Ὑψόθεν ἐπίβλεπε συμπαθῶς, πρὸς τοὺς ἀφορῶντας τῇ θερμῇ σου ἐπισκοπῇ, καὶ δίδου ζωγράφοις τὴν σὴν χάριν, ὡς ἀντιλήπτωρ αὐτῶν Λουκᾶς ἕτοιμος.

*Θεοτοκίον.*

Κυρίων τὸν Κύριον καὶ Θεόν, τεκοῦσα ἀφράστως, Θεοτόκε σωματικῶς, τὴν κυριευθεῖσάν μου καρδίαν, ὑπὸ παθῶν ἀπολύτρωσαι δέομαι.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἀρωγὸς καὶ προστάτης πᾶσιν ἡμῶν φάνηθι, Εὐαγγελιστὰ θεηγόρε τοῖς προσιοῦσί σοι· μεγίστην ἔχεις γάρ, πρὸς τὸν Χριστὸν παῤῥησίαν, ἐκπληρῶν ἑκάστοτε, πᾶν ἡμῶν αἴτημα.

Βοηθεῖν μὴ ἐλλείπῃς τοῖς εὐλαβῶς σπεύδουσι, τῇ σῇ θαυμαστῇ ἀντιλήψει, Λουκᾶ Ἀπόστολε, καὶ αἴτει πάντοτε, πταισμάτων ἄφεσιν δοῦναι, καὶ παθῶν ἐκλύτρωσιν, τοῖς σὲ γεραίρουσι.

Ὁ τὴν θείαν Εἰκόνα γράψας ποτὲ Ἅγιε, νεύσει τῆς Ἁγνῆς Θεοτόκου καὶ Θεομήτορος, κίνει ἑκάστοτε, τὴν

δεξιὰν τῶν ζωγράφων, γράφει μετὰ πίστεως, Χριστοῦ τὸ τύπωμα.

*Θεοτοκίον.*

Θεὸν τετοκυῖα μετὰ σαρκὸς Ἄχραντε, καὶ μετὰ τὸν ἄφραστον τόκον Παρθένος μείνασα, φθορᾶς μὲ λύτρωσαι, τῶν λογισμῶν τῆς κακίας, καὶ τὸν νοῦν μου κάθαρον, μόνη Πανάμωμε.

Διάσωσον, ταῖς πρὸς τὸν Θεὸν ἱκεσίαις σου πάσης βλάβης, καὶ ἀνάγκης τοὺς εὐλαβῶς προσιόντας σοι, Λουκᾶ παμμάκαρ Ἀπόστολε θεοῤῥῆμον.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε.....

*Αἴτησις καὶ τὸ Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Φωτὶ νοητῷ, Λουκᾶ Χριστοῦ Ἀπόστολε, τῶν σῶν πρεσβειῶν, σκότους παθῶν ἀπάλλαξον, τοῦς εὐλαβῶς τιμῶντάς σε, καὶ ζωγράφων ἀπαύστως προστάτευε, ὡς ἀντιλήπτωρ αὐτῶν θαυμαστός, καὶ πάντων μεσίτης πρὸς Κύριον.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Θεοῤῥήμονι γλώσσῃ σου, τὸν Χριστὸν ἐκήρυξας ἐν τοῖς ἔθνεσιν, ᾧ προσάγαγε Ἀπόστολε, τοὺς εἰλικρινῶς σε μακαρίζοντας.

Ἐξ ἁπάσης στενώσεως, καὶ δυσχερειῶν ἐν βίῳ καὶ θλίψεων, ἀνωτέρους Λουκᾶ φύλαττε, τοὺς τῇ σῇ πρεσβείᾳ καταφεύγοντας.

Ἰατρὸς ὢν θεόσοφος, ἴασαι ψυχῆς μου Λουκᾶ τὰ τραύματα, καὶ τὸ σῶμά μου θεράπευσον, ἐκ τῆς συνεχούσης με κακώσεως.

*Θεοτοκίον.*

Τὴν Ἁγνὴν Θεομήτορα, ἧσπερ τὴν Εἰκόνα Λουκᾶ ἱστόρισας, ἱλεῶσαι καθικέτευε, ἡμῖν τὸν Υἱὸν αὐτῆς τὸν εὔσπλαγχνον.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ὄμβρησον ἡμῖν, θεοδέκτοις ἱκεσίαις σου, θείας χάριτος Λουκᾶ τὸν γλυκασμόν, ἁμαρτίας τὴν πικρίαν ἀναστέλλοντα.

Ἵλεων ἡμῖν, τὸν Σωτῆρα καὶ διδάσκαλον, ὡς Ἀπόστολος καὶ Εὐαγγελιστής, ἀπεργάζου τοῖς πιστῶς σε μακαρίζουσι.

Στήριξον ἡμᾶς, ἐν τῷ φόβῳ τοῦ Θεοῦ ἡμῶν, καὶ ἐξαίτει τῶν πταισμάτων ἱλασμόν, τοῖς προσπίπτουσι Λουκᾶ τῇ προστασίᾳ σου.

*Θεοτοκίον.*

Στένωσον Ἁγνή, ἀσθενοῦσαν τὴν καρδίαν μου, κατὰ πάσης τοῦ ἐχθροῦ ἐπιβουλῆς, καὶ τῆς τούτου τυραννίδος με ἀπάλλαξον.

*ᾨδὴ στ΄. Τὴν δέησιν, ἐκχεῶ.*

Ἐξ ὕψους, λαβὼν πλουσίαν τὴν χάριν, ὡς Ἀπόστολος Χριστοῦ θεηγόρος, δίδου ἀεὶ θείαν χάριν παμμάκαρ, τοῖς τοῦ Χριστοῦ καὶ Ἁγίων ἐγγράφουσι,

Λουκᾶ εἰκόνας τὰς σεπτάς, ὡς ζωγράφος τῆς μόνης Θεόπαιδος.

Τὴν ζάλην, καὶ τὴν δεινὴν τρικυμίαν, τῶν παθῶν μου καταστόρεσον μάκαρ, καὶ πρὸς λιμένα γαλήνης ἁγίας, τῶν τοῦ Χριστοῦ ἐνταλμάτων με ἴθυνον, Λουκᾶ σοφὲ μυσταγωγέ, μυστηρίων τῶν θείων τῆς χάριτος.

Ἰσχύν σε, οἱ εὐλαβῶς ζωγραφοῦντες, κεκτημένοι καὶ σοφὸν προμηθέα, τὴν σὴν θερμήν, ἀρωγὴν ἐξαιτοῦνται, ἐν τῷ ἐγγράφειν τὰ θεῖα τυπώματα, ἣν δίδου Ἅγιε Λουκᾶ, ὡς σοφὸς μυστογράφος τῆς χάριτος.

*Θεοτοκίον.*

Μαρία, θεοχαρίτωτε Κόρη, ἡ Θεὸν ἀνερμηνεύτως τεκοῦσα, ἴδε ψυχῆς μου τὴν θλῖψιν καὶ θᾶττον, τῆς τοῦ ἐχθροῦ τυῤῥανίδος με λύτρωσαι, καὶ ἴθυνόν μὲ πρὸς τὸ φῶς, ἀληθοῦς μετανοίας καὶ σῶσόν με.

Διάσωσον, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου πάσης βλάβης καὶ ἀνάγκης, τοὺς εὐλαβῶς προσιόντας σοι, Λουκᾶ παμμάκαρ Ἀπόστολε θεοῤῥῆμον.

Ἄχραντε ἡ διὰ λόγου....

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Ἱερομύστα καὶ θεῖε Ἀπόστολε, οἰκονομίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, Λουκᾶ ἐκτενῶς καθικέτευε, πάσης ἀνάγκης καὶ θλίψεως ῥύεσθαι, τοὺς πίστει καὶ πόθῳ τιμῶντάς σε.

Προκείμενον: *Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ…*

Στίχ.: *Οἱ οὐρανοὶ διηγοῦνται...*

*Εὐαγγέλιον κατὰ Λουκᾶν.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς: Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με. Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς λέγοντες: Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. Εἶπε δὲ αὐτοῖς· ἐθεώρουν τὸν σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα. Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ. Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται, χαίρετε δὲ μᾶλλον ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς καὶ εἶπεν: Ἐξομολογοῦμαί σοι, Πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις ναί, ὁ πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

Δόξα: *Ταῖς τοῦ Ἀποστόλου….*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου….*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στίχ.: *Ἐλεῆμον, Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου….*

Ὄργανον θεόπνευστον, τοῦ Παρακλήτου ἐδείχθης, καὶ ζωῆς τὰ ῥήματα, ἅπασιν ἐκήρυξας θείῳ στόματι, ὅθεν νῦν Ἅγιε, ἐκτενῶς δυσώπει, λυτρωθῆναι τὰς ψυχὰς ἡμῶν, πάσης στενώσεως, καὶ ἐπηρειῶν τοῦ ἀλάστορος, καὶ τῶν πταισμάτων ἄφεσιν, καὶ παραπτωμάτων συγχώρησιν, δοῦναι τοῖς ἐν πίστει, ἀπόστολε καὶ Εὐαγγελιστά, Λουκᾶ τῇ σκέπῃ σου σπεύδουσι, καὶ ὑμνολογοῦσί σε.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ὡς τῶν θείων ἐπόπτης καὶ ψυχῶν καὶ σωμάτων ἀκέστωρ ἄριστος, ἰάτρευσον τὰς νόσους, καὶ δίδου θεραπείαν, τοῖς βοῶσιν Ἀπόστολε· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σὲ προστάτην καὶ θεῖον ὁδηγὸν οἱ ζωγράφοι Λουκᾶ κατεχόντες, τὴν σὴν ἐπικαλοῦνται, ἀντίληψιν ταχεῖαν, ἣν αὐτοῖς δίδου Ἅγιε, ἐν τῷ πιστῶς ζωγραφεῖν, εἰκόνας τὰς ἁγίας.

Ἱλασμὸν ἡμῖν αἴτει καὶ παθῶν θεραπείαν Λουκᾶ Ἀπόστολε, μετάνοιαν γνησίαν, πρὸς κτῆσιν σωτηρίας, ἵνα πόθῳ κραυγάζομεν· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Γεηρῶν φρονημάτων καὶ παθῶν ἀκαθάρτων τὸν νοῦν μου κάθαρον, καὶ ῥῦσαί με Παρθένε, κακίστης συνηθείας, μητρικῇ σου χρηστότητι, ἵνα ὑμνῶ τὰ πολλά, θαυμάσια σου Κόρη.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Ἔλαμψας κόσμῳ, ὥσπερ ἀστὴρ ἑωσφόρος· διὸ σκέπασον κἀμοῦ ψυχῆς τὸ σκότος, ἵνα σὲ δοξάζω, Λουκᾶ ἱερομύστα.

Βήμασι θείοις, Εὐαγγελίου σου μάκαρ, διαῤῥύθμισον ἡμῶν τὴν πολιτείαν, Λουκᾶ θεηγόρε, πρὸς θείας ἐπιδόσεις.

Ἀῤῥωστημάτων, κατὰ ψυχήν τε καὶ σῶμα, διαφύλαττε ἀτρώτους χάριτί σου, τοὺς σοὶ προσιόντας, Λουκᾶ ἱεροφάντορ.

*Θεοτοκίον.*

Σὺ εἶ Παρθένε, Χριστιανῶν προστασία, διὰ τοῦτό σοι βοῶμεν· ἐκ καρδίας χαῖρε Θεοτόκε, ἡμῶν ἡ σωτηρία.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἰάτρευσον τὸν νοῦν μου, τετραυματισμένον, ταῖς χαλεπαῖς ἐπηρείαις τοῦ ὄφεως, τῇ μυστικῇ σου χειρουργίᾳ Λουκᾶ Ἀπόστολε.

Μὴ παύσῃ ἐποπτεύων, καὶ κινεῖν τὴν χεῖρα, ἁγιογράφων πιστῶν Λουκᾶ ἔνδοξε, ὡς ἂν τὰς θείας εἰκόνας καλῶς ἐγγράφωσιν.

Οἱ πίστει προσιόντες, τῷ σεπτῷ ναῷ σου, τῶν αἰτημάτων τὴν λύσιν λαμβάνουσι, Λουκᾶ θεόφρον κηρύττοντες τὰ σὰ θαύματα.

*Θεοτοκίον.*

Ὑπέραγνε Παρθένε, Κεχαριτωμένη, τὴν ἄναγνόν μου καρδίαν ἐκκάθαρον, ἐξ ἐννοιῶν ἐξαγίστων καθικετεύω Σε.

*Τὸ Ἄξιόν ἐστι καὶ τὰ μεγαλυνάρια.*

Πνεύματος τὴν χάριν πεπλουτηκώς, Λουκᾶ θεηγόρε, ὡς Ἀπόστολος τοῦ Χριστοῦ, τοῦ Εὐαγγελίου, μύστης σοφὸς ὡράθης, καὶ θεῖος μυστολέκτης, καὶ κῆρυξ πάνσοφος.

Ὅλην εἰσδεξάμενος τῇ ψυχῇ, τὴν τοῦ Παρακλήτου, θείαν ἔλλαμψιν μυστικῶς, φῶς τῷ κόσμῳ ὤφθης, καὶ θεῖος ὑποφήτης, καὶ Εὐαγγελιστής τε, Λουκᾶ τῆς χάριτος.

Τοῦ Παύλου συνέκδημος γεγονώς, σὺν αὐτῷ κηρύττεις, τὸν Σωτῆρα πάσῃ γῇ, μεθ᾽ οὗ νῦν δυσώπει, Λουκᾶ ἱερομύστα, ὑπὲρ τῶν ἐκζητούντων, τὴν σὴν ἀντίληψιν.

Τοῦ Εὐαγγελίου ῥήτωρ λαμπρός, ὡς αὐτὸ συγγράψας, ἀνεδείχθης Λουκᾶ σοφέ, καὶ τῶν Ἀποστόλων, τὰς πράξεις ἱστορήσας, ἀναπτεροῖς τοὺς πάντας πρὸς θεῖον ἔρωτα.

Χαίροις τῶν ζωγράφων ὁ ἀρωγός, Λουκᾶ θεηγόρε, καὶ ἐξαίρετος βοηθός, οἷς ἀεὶ βοήθει, ἐν τῷ πιστῶς ἐγγράφειν, τὰς ἱερὰς εἰκόνας, πρὸς θείαν αἴνεσιν.

Ὡς ψυχαῖς τὴν ἴασιν χορηγῶν, ἰατρὸς ὡς θεῖος, τῆς ψυχῆς μου τὴν χαλεπήν, θεράπευσον νόσον, Λουκᾶ δυσωπῶ σε, καὶ αἴτει μοι πταισμάτων, τὴν ἀπολύτρωσιν.

Πᾶσαι τῶν Ἀγγέλων…

*Τὸ τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ᾽ ἣν ψάλλομεν τὸ ἑξῆς: Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.*

Ἔχων παῤῥησίαν πρὸς Χριστόν, Εὐαγγελιστὰ θεηγόρε, Λουκᾶ ὦ ἀπόστολε, στόμα θεοκίνητον Ἁγίου Πνεύματος, ἐκτενῶς καθικέτευε, τὸν πάντων Δεσπότην, πάσης ἡμᾶς ῥύεσθαι, ὀργῆς καὶ θλίψεως, ἄφεσιν πταισμάτων δὲ δοῦναι, καὶ ἀπαλλαγὴν παντὸς πάθους, τοῖς εἰλικρινῶς σε μακαρίζουσι.

Δέσποινα πρόσδεξαι....
Τὴν πᾶσαν ἐλπίδα μου...

*Δίστιχον.*

*Δέξαι μου τὴν δέησιν Λουκᾶ θεόφρου*
*Γερασίμου σπεύδοντος τῇ ἀρωγῇ σου.*

